## Κείμενο

ΙΣ. *Τί δ', ὦ ταλαῖφρον, εἰ τάδ' ἐν τούτοις, ἐγὼ*
*λύουσ' ἂν εἴθ' ἅπτουσα προσθείμην πλέον;*
ΑΝ. *Εἰ ξυμπονήσεις καὶ ξυνεργάσῃ σκόπει.*
ΙΣ. *Ποῖόν τι κινδύνευμα; ποῖ γνώμης ποτ' εἶ;*
ΑΝ. *Εἰ τὸν νεκρὸν ξὺν τῇδε κουφιεῖς χερί.*
ΙΣ. *Ἦ γὰρ νοεῖς θάπτειν σφ', ἀπόρρητον πόλει;*
ΑΝ. *Τὸν γοῦν ἐμὸν καὶ τὸν σόν, ἢν σὺ μὴ θέλῃς,*
*ἀδελφόν· οὐ γὰρ δὴ προδοῦσ' ἁλώσομαι.*
ΙΣ. *Ὦ σχετλία, Κρέοντος ἀντειρηκότος;*
ΑΝ. *Ἀλλ' οὐδὲν αὐτῷ τῶν ἐμῶν μ' εἴργειν μέτα.*



Χαρίκλεια Μυττά, φιλόλογος